αὐτοῦ· ὦ μιαρῶν γλωσσῶν καὶ βλασφήμων· ὦ θεομάχων στομάτων· οὐκ οἶσθ' ὦ ἀπλάνος, ἐρρωσθεὶς οἰχήσεται· τί λοιπὸν δηλοῖ τὸν οὐκέτι ὄντα· τί τὸ μηδὲν πεφόβησαι· τί κωφὴν γαῖαν τρέμεις· ἀλλὰ μικρὸν ἐπίσχες ὦ μιαιφόνε· καὶ ὄψει ἐς νέωτα ὅπως ὃν βλασφημοῦμεν οὗτος, τῶν κάτω κευθμώνων ἀναβήσεται κατὰ τὸν θεόληπτον ναὸν αὐτοῦ· ἐμφυσῶν εἰς πρόσωπον μαθητῶν· καὶ πεπεδημένους ἐξάγων ἐν ἀνδρείᾳ, τοὺς κατοικοῦντας ἐν τάφοις καὶ ἐν αἵματι διαθήκης ἐξαποστέλλων δεσμίους ἐκ λάκκου οὐκ ἔχοντος ὕδωρ· οὗτος γάρ ἐστιν ὁ παρὰ τῷ Ἰσραὴλ σκύμνος λέοντος ἐκ βλαστοῦ φυλῆς Ἰουδαϊκῆς ἀναβεβηκώς· ὃς ἐκοιμήθη νῦν ὡς λέων ἀναπεσών· καὶ ὡς σκύμνος· τίς αὐτὸν ἐγερεῖ· σκύμνος γὰρ καὶ λέων ὁ κύριος· ὡς ἐξ ἀμφοῖν τοῖν γενοῖν, βασιλέως Ἰσραὴλ· καὶ φοβερὸς οὐ μόνον ἐγρηγορὼς καὶ ἐρχόμενος· λέων γάρ φησιν ἐρεύξεται· καὶ τίς οὐ φοβηθήσεται, ἀλλὰ καὶ καθεύδων καὶ ἀτρεμῶν ἐξηρεύξατο λόγον ἀγαθόν, τὸ μετὰ τρεῖς ἡμέρας ἐγείρομαι· καὶ Ἰουδαῖος πεφόβηται· καὶ τετάρακται τῷ δείματι τοῦ μνήματος· ταῦτ' ἄρα καὶ καθεύδοντα πέφρικε· καὶ σφραγῖδι καὶ φρουρᾷ ὅσα καὶ νήμασιν ἀναισχυντῶν, λίνοις τὰ ταῦτα οὗτοι τὸν λέοντα δεδοίκασιν· οἱ ἀπειθεῖς ὃν ἀπεδοκίμασαν λίθον ἐκλεκτὸν ἔντιμον τεθειμένον ἐν τῇ Σιών, μὴ ἐξαναστὰς ἐπιπέσοι τοῖς ταλαιπώροις καὶ συντρίψας, λικμήσειεν ὡς κονιορτὸν ἀπὸ ἅλωνος θερινῆς· ἢ τοῦ λυθέντος ἀχειροποιήτου ναοῦ ἐγερθέντος, καθαιρεθήσεται ὁ χειρόκμητος· καὶ Σιὼν ὡς ἀγρὸς ἀροτριαθήσεται· καὶ Ἱερουσαλὴμ ὡς ὀπωροφυλάκιον ἔσται· καὶ τὸ ὄρος τοῦ οἴκου ἔσται εἰς ἄλσος δρυμοῦ· καὶ παρὰ τοῦτο τοῦ μὲν τὴν ἀναγόρευσιν βασκαίνουσιν ὡς οἱ πονηροὶ γείτονες πάλαι τὴν ἀνέγερσιν